σμῶν σου καὶ τῆς συνειδήσεως ἅψασθαι τὸ πῦρ· μόνον σαυτὸν μὴ κατακαύσῃς. Καὶ γὰρ τὰς ὀχυρὰς τῶν πόλεων ὅπλα μὲν ⟨πάντα⟩ πολλάκις καὶ μηχανήματα τῶν ἔξωθεν οὐκ ἴσχυσεν καθελεῖν, προδοσία δὲ ἑνὸς ἢ δύο τῶν ἔνδον οἰκούντων πολιτῶν ἀπονητὶ παρέδωκεν τοῖς ἐχθροῖς. Καὶ νῦν μηδείς σε τῶν ἔνδον προδότω λογισμῶν, κἂν μυρία προσάγῃ μηχανήματα ἔξωθεν ὁ ἐχθρός, προσάξει μάτην.

**4.** Πολλοὺς ἔχεις Θεοῦ χάριτι καὶ μεγάλους τοὺς συναλγοῦντας, τοὺς ἀλείφοντας, τοὺς ὑπὲρ τῆς σῆς τρέμοντας ψυχῆς· τὸν ἅγιον τοῦ θεοῦ Βαλέριον, τὸν πάντα αὐτῷ τιμιώτατον ἀδελφὸν Φλωρέντιον, τὸν τὴν τοῦ Χριστοῦ σοφίαν σοφὸν Πορφύριον, καὶ ἑτέρους πολλούς. Οὗτοι καθ' ἑκάστην ὀλοφύρονται τὴν ἡμέραν ὑπὲρ σοῦ καὶ εὐχόμενοι οὐκ ἐπαύσαντο· καὶ ἔτυχον δ' ἂν ὧν ἐδέοντο πάλαι, εἰ μικρὸν γοῦν ἀπολῦσαι σαυτὸν ἠθέλησας τῶν τοῦ πολεμίου βρόχων. Πῶς οὖν οὐκ ἄτοπον ἑτέρους μὲν μηδὲ νῦν ἀπογνῶναί σου τὴν σωτηρίαν, ἀλλὰ δι' ὅλου τὸ μέλος αὐτῶν ἀπολαβεῖν εὔχεσθαι, σὲ δὲ ἅπαξ πεσόντα μὴ θέλειν ἀναστῆναι, ἀλλὰ κεῖσθαι, μόνον οὐχὶ βοῶντα πρὸς τὸν ἐχθρόν· Σφάττε, [παῖε], μὴ φείσῃ· « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται ; » ὁ θεῖος ἔφη χρησμός. Σὺ δὲ μάχῃ